εἰς γῆν Ιουδα καὶ ἐπένθησαν τὸν Ιωναθαν καὶ τοὺς μετ᾽ αὐτοῦ καὶ
ἐφοβήθησαν σφόδρα· καὶ ἐπένθησεν πᾶς Ισραηλ πένθος μέγα.
53 [53]καὶ ἐζήτησαν πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν ἐκτρῖψαι αὐτούς·
εἶπον γάρ Οὐκ ἔχουσιν ἄρχοντα καὶ βοηθοῦντα· νῦν οὖν πολεμή-
σωμεν αὐτοὺς καὶ ἐξάρωμεν ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.
13 [1]Καὶ ἤκουσεν Σιμων ὅτι συνήγαγεν Τρύφων δύναμιν πολλὴν
2 τοῦ ἐλθεῖν εἰς γῆν Ιουδα καὶ ἐκτρῖψαι αὐτήν. [2]καὶ εἶδεν τὸν λαόν,
ὅτι ἔντρομός ἐστιν καὶ ἔκφοβος, καὶ ἀνέβη εἰς Ιερουσαλημ καὶ
3 ἤθροισεν τὸν λαὸν [3]καὶ παρεκάλεσεν αὐτοὺς καὶ εἶπεν αὐτοῖς Αὐτοὶ
οἴδατε ὅσα ἐγὼ καὶ οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πατρός μου
ἐποιήσαμεν περὶ τῶν νόμων καὶ τῶν ἁγίων, καὶ τοὺς πολέμους
4 καὶ τὰς στενοχωρίας, ἃς εἴδομεν. [4]τούτου χάριν ἀπώλοντο οἱ ἀδελ-
φοί μου πάντες χάριν τοῦ Ισραηλ, καὶ κατελείφθην ἐγὼ μόνος.
5 [5]καὶ νῦν μή μοι γένοιτο φείσασθαί μου τῆς ψυχῆς ἐν παντὶ καιρῷ
6 θλίψεως· οὐ γάρ εἰμι κρείσσων τῶν ἀδελφῶν μου. [6]πλὴν ἐκδικήσω
περὶ τοῦ ἔθνους μου καὶ περὶ τῶν ἁγίων καὶ περὶ τῶν γυναικῶν
καὶ τέκνων ὑμῶν, ὅτι συνήχθησαν πάντα τὰ ἔθνη ἐκτρῖψαι ἡμᾶς
7 ἔχθρας χάριν. [7]καὶ ἀνεζωπύρησεν τὸ πνεῦμα τοῦ λαοῦ ἅμα τοῦ
8 ἀκοῦσαι τῶν λόγων τούτων, [8]καὶ ἀπεκρίθησαν φωνῇ μεγάλῃ λέ-
γοντες Σὺ εἶ ἡμῶν ἡγούμενος ἀντὶ Ιουδου καὶ Ιωναθου τοῦ ἀδελ-
9 φοῦ σου· [9]πολέμησον τὸν πόλεμον ἡμῶν, καὶ πάντα, ὅσα ἂν εἴπῃς
10 ἡμῖν, ποιήσομεν. [10]καὶ συνήγαγεν πάντας τοὺς ἄνδρας τοὺς πολε-
μιστὰς καὶ ἐτάχυνεν τοῦ τελέσαι τὰ τείχη Ιερουσαλημ καὶ ὠχύρωσεν
11 αὐτὴν κυκλόθεν. [11]καὶ ἀπέστειλεν Ιωναθαν τὸν τοῦ Αψαλωμου καὶ
μετ᾽ αὐτοῦ δύναμιν ἱκανὴν εἰς Ιοππην, καὶ ἐξέβαλεν τοὺς ὄντας
ἐν αὐτῇ καὶ ἔμεινεν ἐκεῖ ἐν αὐτῇ.
12 [12]Καὶ ἀπῆρεν Τρύφων ἀπὸ Πτολεμαίδος μετὰ δυνάμεως πολλῆς
13 ἐλθεῖν εἰς γῆν Ιουδα, καὶ Ιωναθαν μετ᾽ αὐτοῦ ἐν φυλακῇ. [13]Σιμων
14 δὲ παρενέβαλεν ἐν Αδιδοις κατὰ πρόσωπον τοῦ πεδίου. [14]καὶ ἐπ-
έγνω Τρύφων ὅτι ἀνέστη Σιμων ἀντὶ Ιωναθου τοῦ ἀδελφοῦ αὐτοῦ
καὶ ὅτι συνάπτειν αὐτῷ μέλλει πόλεμον, καὶ ἀπέστειλεν πρὸς αὐ-
15 τὸν πρέσβεις λέγων [15]Περὶ ἀργυρίου, οὗ ὤφειλεν Ιωναθαν ὁ ἀδελ-

52 πας > A† || 53 εζητησαν] -σεν S*pau. | αρχοντα] pr. ανδρα A | εξαρουμεν A

13 1 και ult.] του A† || 2 εντρομος εστιν SVLa†] tr. rel. | εις > S*† || 3 ο > A† | μου 2⁰] + παντες SV†: cf. 4 | περι] χαριν SV†: cf. 4 | και paenult. > S*V† | και ult. — fin. > S*V†; ας ειδομεν > A† || 4 τουτου] ων και SV† | οι αδ. μου / παντες] tr. SV† || 6 περι 3⁰ > SV† | τεκνων SV†] pr. των rel. | υμων] ημ. A || 7 αμα του] αυτου A† || 8 ιουδου: cf. 3 25 | ιωναθου: cf. 2 5 || 11 εκει > S*(†), sed SV† hab. εκει pro εν αυτη praec. || 12 ελθειν SVLa†] pr. εισ rel. || 13 αδ(ε)ιδοις] αδεινοις S*(†) || 14 ιωναθου: cf. 8 | πολεμον (cf. 11 69 al.)] pr. εις A pau.: cf. 7 43 10 78 || 15 ο > A†